ἐπίπεδοι ἀριθμοὶ οἱ Α, Β· καὶ τοῦ μὲν Α πλευραὶ ἔστωσαν
οἱ Γ, Δ ἀριθμοί· τοῦ δὲ Β, οἱ Ε, Ζ· καὶ ἐπεὶ ὅμοιοι ἐπί-
πεδοί εἰσιν οἱ ἀνάλογον ἔχοντες τὰς πλευράς· ἔστιν ἄ-
ρα ὡς ὁ Γ πρὸς τὸν Δ, οὕτως ὁ Ε πρὸς τὸν Ζ. λέγω οὖν
ὅτι τῶν Α, Β εἷς μέσος ἀνάλογόν ἐστιν ἀριθμός· καὶ
ὁ Α πρὸς τὸν Β διπλασίονα λόγον ἔχει, ἤπερ ὁ Γ πρὸς
τὸν Ε ἢ ὁ Δ πρὸς τὸν Ζ· τουτέστιν ἤπερ ἡ ὁμόλογος
πλευρὰ πρὸς τὴν ὁμόλογον πλευράν· καὶ ἐπεί ἐστιν
ὡς ὁ Γ πρὸς τὸν Δ, οὕτως ὁ Ε πρὸς τὸν Ζ· ἐναλλὰξ ἄ-
ρα ἐστὶν ὡς ὁ Γ πρὸς τὸν Ε, ὁ Δ πρὸς τὸν Ζ· καὶ ἐπεὶ ἐπί-
πεδός ἐστιν ὁ Α· πλευραὶ δὲ αὐτοῦ οἱ Γ, Δ· ὁ Δ ἄρα τὸν
Γ πολλαπλασιάσας, τὸν Α πεποίηκεν· διὰ τὰ αὐτὰ δὴ
καὶ ὁ Ε τὸν Ζ πολλαπλασιάσας, τὸν Β πεποίηκεν· ὁ Δ δὴ
τὸν Ε πολλαπλασιάσας, τὸν Η ποιείτω· καὶ ἐπεὶ ὁ Δ τὸν
μὲν Γ πολλαπλασιάσας, τὸν Α πεποίηκεν· τὸν δὲ Ε
πολλαπλασιάσας, τὸν Η πεποίηκεν· ἔστιν ἄρα ὡς ὁ
Γ πρὸς τὸν Ε, οὕτως ὁ Α πρὸς τὸν Η· ἀλλ' ὡς ὁ Γ πρὸς
τὸν Ε, οὕτως ὁ Δ πρὸς τὸν Ζ· καὶ ὡς ἄρα ὁ Δ πρὸς τὸν Ζ,
οὕτως ὁ Α πρὸς τὸν Η· πάλιν ἐπεὶ ὁ Ε τὸν μὲν Δ πολ-
λαπλασιάσας, τὸν Η πεποίηκεν· τὸν δὲ Ζ πολλαπλα-
σιάσας, τὸν Β πεποίηκεν· ἔστιν ἄρα ὡς ὁ Δ πρὸς τὸν
Ζ, οὕτως ὁ Η πρὸς τὸν Β· ἐδείχθη δὲ καὶ ὡς ὁ Δ πρὸς
τὸν Ζ, οὕτως ὁ Α πρὸς τὸν Η· καὶ ὡς ἄρα ὁ Α πρὸς τὸν
Η, οὕτως ὁ Η πρὸς τὸν Β· οἱ Α, Η, Β ἄρα ἑξῆς ἀνά-
λογόν εἰσιν· τῶν Α, Β ἄρα εἷς μέσος ἀνάλογόν ἐστιν ἀ-
ριθμός. λέγω δὴ ὅτι καὶ ὁ Α πρὸς τὸν Β διπλασίονα

λόγον ἔχει, ἤπερ ἡ ὁμόλογος πλευρὰ πρὸς τὴν ὁμόλο-
γον πλευράν· τουτέστιν ἤπερ ὁ Γ πρὸς τὸν Ε, ἢ ὁ Δ
πρὸς τὸν Ζ· ἐπεὶ γὰρ οἱ Α, Η, Β
ἑξῆς ἀνάλογόν εἰσιν· ὁ Α
πρὸς τὸν Β διπλασίονα λό-
γον ἔχει ἤπερ πρὸς τὸν Η·
καί ἐστιν ὡς ὁ Α πρὸς τὸν Η, οὕ-
τως ὅ τε Γ πρὸς τὸν Ε καὶ ὁ
Δ πρὸς τὸν Ζ· καὶ ὁ Α ἄρα
πρὸς τὸν Β διπλασίονα
λόγον ἔχει ἤπερ ὅ τε Γ



πρὸς τὸν Ε ἢ ὁ Δ πρὸς τὸν Ζ· ὅπερ ἔδει δεῖξαι:~

Δύο ὁμοίων στερεῶν ἀριθμῶν, δύο μέσοι ἀνάλογον
ἐμπίπτουσιν ἀριθμοί· καὶ ὁ στερεὸς πρὸς τὸν ὅμοιον
στερεὸν τριπλασίονα λόγον ἔχει, ἤπερ ἡ ὁμόλογος
πλευρὰ πρὸς τὴν ὁμόλογον πλευράν· ἔστωσαν δύο
ὅμοιοι στερεοὶ οἱ Α, Β· καὶ τοῦ Α πλευραὶ ἔστωσαν οἱ Γ, Δ, Ε·
τοῦ δὲ Β οἱ Ζ, Η, Θ· καὶ ἐπεὶ ὅμοιοι στερεοί εἰσιν οἱ ἀνάλο-
γον ἔχοντες τὰς πλευράς· ἔστιν ἄρα ὡς μὲν ὁ Γ
πρὸς τὸν Δ, οὕτως ὁ Ζ πρὸς τὸν Η· ὡς δὲ ὁ Δ πρὸς
τὸν Ε, οὕτως ὁ Η πρὸς τὸν Θ· λέγω ὅτι τῶν Α, Β δύο
μέσοι ἀνάλογον ἐμπίπτουσιν ἀριθμοί· καὶ ὁ Α πρὸς
τὸν Β τριπλασίονα λόγον ἔχει ἤπερ ὁ Γ πρὸς τὸν Ζ· ἢ
ὁ Δ πρὸς τὸν Η καὶ ἔτι ὁ Ε πρὸς τὸν Θ· ὁ Γ γὰρ τὸν μὲν
Δ πολλαπλασιάσας τὸν Κ ποιείτω· ὁ δὲ Ζ τὸν Η
πολλαπλασιάσας τὸν Λ ποιείτω· καὶ ἐπεὶ οἱ Γ, Δ